UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ab anno DLIII. ad annum DLXXVII.

**Parisiis, 1644**

Ek Tōn Ypomnēmatōn Tēs Agias Oikumenikēs Pemptēs ...

**urn:nbn:de:hbz:466:1-15324**

Visual Library

ANNO CHRISTI 553.

# ΕΚ ΤΩΝ ΥΠΟΜΝΗΜΑΤΩΝ ΤΗΣ ΑΓΙΑΣ ΟΙΚΟΥΜΕΝΙΚΗΣ ΠΕΜΠΤΗΣ συνόδου.

Τῷ τὰ πάντα ἁγιωτάτῳ καὶ μακαριωτάτῳ κυρίῳ ἀδελφῷ καὶ συλλειτουργῷ Βιγιλίῳ, Εὐτύχιος.

ΙΔΟΝΤΕΣ ὁπόσων ἀγαθῶν αἰτία ἐστὶν ἡ τοῦ θεοῦ εἰρήνη φρουροῦσα τὰς καρδίας καὶ τὰ νοήματα τῶν πιστῶν, καὶ συνάγουσα αὐτοὺς εἰς τὸ ἓν καὶ τὸ αὐτὸ φρονεῖν, ἐν τῇ περὶ τῆς ὀρθῆς πίστεως ὁμολογίᾳ, καὶ τῇ τῶν θείων ἐντολῶν κατορθώσει, καὶ τὸν θεὸν εὐμενῆ καθιστῶσα τοῖς εἰς τὰ ὀρθὰ ὁμονοοῦσι. Διὰ τοῦτο σπουδάζοντες τὴν ἕνωσιν φυλάξαι, πρὸς τὴν καθολικὴν καθέδραν τῆς ὑμετέρας μακαριότητος φανερὸν ποιοῦμεν, ὅτι ἀεὶ ἡμεῖς ἐφυλάξαμεν καὶ φυλάττομεν τὴν πίστιν, τὴν ἐξ ἀρχῆς παραδοθεῖσαν ὑπὸ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς ἁγίοις ἀποστόλοις, καὶ παρ' ἐκείνων ἐν παντὶ τῷ κόσμῳ κηρυχθεῖσαν, καὶ ὑπὸ τῶν ἁγίων πατέρων σαφηνισθεῖσαν, καὶ μάλιστα ὑπὸ τῶν ἐν ταῖς ἁγίαις τέτρασι συνόδοις συνελθόντων, οἷς διαπαντὸς καὶ ἐν πᾶσιν ἀκολουθοῦμεν, καὶ δεχόμεθα, τουτέστι τοὺς τριακοσίους δέκα καὶ ὀκτὼ ἁγίους πατέρας τοὺς ἐν Νικαίᾳ συνελθόντας, καὶ τὸ ἅγιον σύμβολον ἤτοι μάθημα τῆς πίστεως ἐκθεμένους, καὶ τὴν Ἀρείου μανίαν ἀναθεματίσαντας, καὶ τοὺς ταύτην φρονήσαντας ἢ φρονοῦντας. Δεχόμεθα δὲ καὶ τοὺς ἑκατὸν πεντήκοντα ἁγίους πατέρας τοὺς ἐν Κωνσταντινουπόλει συνελθόντας, οἵτινες τὸ αὐτὸ ἅγιον μάθημα ἐσαφήνισαν, καὶ τὰ περὶ τῆς θεότητος τοῦ ἁγίου πνεύματος ἐτράνωσαν, καὶ τὴν αἵρεσιν Μακεδονίου τοῦ πνευματομάχου, καὶ τὸν ἀσεβῆ Ἀπολινάριον κατέκριναν, μετὰ τῶν τὰ αὐτὰ ἐκείνοις φρονησάντων ἢ φρονούντων. Δεχόμεθα δὲ καὶ τοὺς διακοσίους ἁγίους πατέρας τοὺς ἐν τῇ κατ' Ἔφεσον πρώτῃ συνόδῳ ἀθροισθέντας, οἵτινες διὰ πάντων ἠκολούθησαν τῷ αὐτῷ ἁγίῳ συμβόλῳ ἤτοι μαθήματι, κατέκριναν δὲ Νεστόριον τὸν ἀσεβῆ καὶ τὰ μυσαρὰ αὐτοῦ δόγματα, καὶ τοὺς τὰ ὅμοια αὐτῷ ὁτεδήποτε φρονήσαντας ἢ φρονοῦντας. Πρὸς τούτοις δεχόμεθα καὶ τοὺς ἑξακοσίους τριάκοντα ἁγίους πατέρας τοὺς ἐν Καλχηδόνι συνελθόντας, οἵτινες καὶ αὐτοὶ διὰ πάντων συνήνεσαν ταῖς προῤῥηθείσαις ἁγίαις τρισὶ συνόδοις, καὶ ἠκολούθησαν τῷ προῤῥηθέντι συμβόλῳ, ἤτοι μαθήματι, τῷ παρὰ τῶν ἁγίων πατέρων ἐκτεθέντι, καὶ ἀπὸ τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων σαφηνισθέντι· καὶ ἀνεθεμάτισαν τοὺς ἕτερον παρὰ τὸ εἰρημένον σύμβολον τολμῶντας διδάσκειν, ἢ ἐκτίθεσθαι, ἢ παραδιδόναι ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις. κατέκριναν δὲ, καὶ ἀνεθεμάτισαν καὶ Εὐτυχῆ, καὶ Νεστόριον, καὶ τὰ ἀσεβῆ αὐτῶν δόγματα, καὶ τοὺς τὰ ὅμοια αὐτοῖς φρονήσαντας ἢ φρονοῦντας. Τούτων οὕτως ἐχόντων, δῆλον ποιοῦ-

Epistola Eutychii ad Vigiliũ: extat supra Latine in Coll. 1. pag. 19.

μεν, ὅτι πάντα τὰ ἀπὸ τῶν προειρημένων ἁγίων τεσσάρων συνόδων κριθέντα τε καὶ ὁρισθέντα, καὶ ἐφυλάξαμεν, καὶ φυλάττομεν· ἐπεὶ κἂν κατὰ διαφόροις χρόνοις αἱ εἰρημέναι ἅγιαι τέσσαρες σύνοδοι ἐγένοντο, ὅμως μίαν καὶ τὴν αὐτὴν ὁμολογίαν τῆς πίστεως ἐφύλαξαν καὶ ἐκήρυξαν. Δεχόμεθα δὲ καὶ περιπτυσσόμεθα καὶ τὰς ἐπιστολὰς τῶν προέδρων τῆς ἐν Ῥώμῃ ἀποστολικῆς καθέδρας, τῶν τε ἄλλων, καὶ Λέοντος τοῦ ἐν ἁγίοις, τὰς περὶ τῆς ὀρθῆς πίστεως γεγραμμένας, περὶ τῶν ἁγίων τεσσάρων συνόδων, ἢ μιᾶς ἐξ αὐτῶν. Ὁπότε τοίνυν τὰ προειρημένα πάντα καὶ ἐφυλάξαμεν, καὶ φυλάττομεν, καὶ ἐν τούτοις συμφωνοῦμεν ἀλλήλοις, ἀναγκαῖόν ἐστι διαντιβληθῆναι περὶ τῶν τριῶν κεφαλαίων, περὶ ὧν τισι ζήτησις ἀνεφύη. Καὶ διὰ τοῦτο αἰτοῦμεν, προκαθημένης ἡμῶν τῆς ὑμετέρας μακαριότητος, ἀπαράλλακτως καὶ μετὰ ἱερατικῆς πραότητος, τῶν ἁγίων προκειμένων εὐαγγελίων, τὰ αὐτὰ κεφάλαια ἐν μέσῳ προτιθέμενα κοινῷ τρακτάτῳ ζητηθῆναι, καὶ ἀντιβληθῆναι, καὶ πέρας ἐπιτεθῆναι τῇ ζητήσει θεῷ ἀρέσκον, καὶ σύμφωνον τοῖς παρὰ τῶν ἁγίων τεσσάρων συνόδων ὁρισθεῖσιν· ἐπεὶ εἰς αὔξησιν τῆς εἰρήνης, καὶ εἰς ὁμόνοιαν τῶν ἐκκλησιῶν συντείνει, τὸ πάσης διχονοίας ἐκ μέσου ἀναιρουμένης, τὰ ὑπὸ τῶν ἁγίων τεσσάρων συνόδων ὁρισθέντα, ἀσάλευτα τηρηθῆναι, τοῦ σεβάσματος τῶν ἁγίων συνόδων ἐν ἅπασι φυλαττομένου. Τούτοις δὲ καὶ ὑπεσημειωσάμεθα. καὶ ὑπογραφή· ἐρρωμένος ἐν κυρίῳ ὑπερεύχου ἡμῶν, ἁγιώτατε καὶ μακαριώτατε ἀδελφέ. Ἐγὼ Εὐτύχιος ἐλέει θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης, πᾶσι τοῖς προγεγραμμένοις ὑπέγραψα. Ὁ αὐτὸς λίβελλος ἐγένετο καὶ παρὰ Ἀπολιναρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως, καὶ Δομνίνου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Θεουπολιτῶν, καὶ τῶν ὑπ᾽ αὐτοὺς θεοφιλεστάτων ἐπισκόπων, τῶν καὶ ἐνδημούντων ταύτῃ τῇ βασιλίδι πόλει, πρὸς τὸν αὐτὸν ὁσιώτατον Βιγίλιον.

## ΑΝΤΙΓΡΑΦΟΝ ΕΠΙΣΤΟΛΗΣ ΒΙΓΙΛΙΟΥ
τοῦ ὁσιωτάτου πάπα πρὸς Εὐτύχιον τὸν ἁγιώτατον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως, καὶ τὴν ὑπ᾽ αὐτὸν σύνοδον.

Τῷ ἀγαπητῷ ἀδελφῷ Εὐτυχίῳ καὶ τοῖς ὑπὸ σὲ ἐπισκόποις, Βιγίλιος.

Epiſtola Vigilii ad Eutychiũ.

ΕΠΛΗΡΩΘΗ χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως, ὅτι τῆς συγχύσεως τοῦ διχονοεῖν περιαιρεθείσης, τὴν εἰρήνην ὁ θεὸς τῇ αὐτοῦ ἀποκατέστησεν ἐκκλησίᾳ· ἵνα πληρωθῇ τὸ γεγραμμένον· ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπιτοαυτό; Πάνυ γὰρ ἡμᾶς ἐν κυρίῳ ἀγαλλιᾶσθαι προσήκει, ὅτι παρ᾽ ἐγγράφως* ἡμῖν προσηνέχθη πληροφορία τῆς ὑμετέρας ἀγάπης, ἧς ἡ δύναμις οὕτως ἔχει. Inſerta eſt

* ſc. ἡμῶν

ANNO CHRISTI 555. hoc loco ſuperior Eutychii epiſtola, plenior autem hic eſt ſubſcriptio aliquot verbis, vt in editione Latina. Τούτοις δὲ καὶ ὑπεσημειωσάμεθα, ταύτης τῆς ὀρθοδόξου ὁμολογίας τὴν φαιδρότητα ἀσμένως περιπτυξάμενοι, τὰ αὐτὰ ἡμεῖς διὰ πάντων καὶ ἐν ἅπασιν ἀποδεχόμενοι, φυλάξειν τε καὶ ἀμωμήτως τηρήσειν, τοῦ θεοῦ ἡμῶν προηγουμένου, ἐπαγγελλόμεθα. Ἁπάντων τοίνυν τῶν τῇ ὑμετέρᾳ περιεχομένων ὁμολογίᾳ, ἐν τῇ οἰκείᾳ δυνάμει εἰς τὸ διηνεκὲς μενόντων, ᾔτησεν ἡ ἀδελφότης ὑμῶν, ὥστε ἡμῶν προκαθημένων, περὶ τῶν τριῶν κεφαλαίων, ἐξ ὧν ζήτησις ἀνέφυ, ἀταράχως τε καὶ μετὰ ἱερατικῆς πραότητος, τῶν ἁγίων προκειμένων εὐαγγελίων, συγκριθῆναι, καὶ τέλος τῇ ζητήσει ταύτῃ τῷ θεῷ ἀρέσκον, καὶ συμβαῖνον τοῖς παρὰ τῶν μνημονευθεισῶν τεσσάρων ἁγίων συνόδων ὁρισθεῖσιν, ἐπιτεθῆναι· ἵνα πάσης ἐκ μέσου διχονοίας ἀναιρουμένης, τὰ ἀπὸ τῶν ἁγίων τεσσάρων συνόδων ὁρισθέντα, ἀσάλευτα φυλαχθείη, τοῦ σεβάσματος τῶν αὐτῶν συνόδων ἐν ἅπασι φυλαττομένου. Ἥνπερ ὁμολογίαν τῶν πατρικῶν παραδόσεων μνημονεύουσαν, καὶ αὐταῖς ἀκολουθοῦσαν, τοῦτο μὲν ἐν τῇ ὑμῶν ἀδελφότητι, τοῦτο δὲ ἐν ἅπασι τοῖς τὰ ὅμοια ὁμολογήσασί τε καὶ ὁμολογοῦσι, παντὸς ἐπαίνου πεπληρωμένην κρίνομεν, καὶ ὑμετέροις ἐξ αὐτοῦ τοῦ πράγματος ἀληθῶς ἀδελφοὺς ἐπιγινώσκομεν. Ὅθεν τὴν τοῦ θεοῦ φιλανθρωπίαν ἱκετεύομεν, ὥστε πάντας ἡμᾶς ἐν ταύτῃ τῇ ὁμολογίᾳ καὶ ταῖς πατρικαῖς παραδόσεσιν ἐμμένοντας, ἀξίους εὑρεθῆναι τοῦ ἐπαγγέλματος ἡμῶν, καὶ ἐν τῇ ἡμέρᾳ τῆς θείας κρίσεως ἐπ' οὐδεμιᾷ παραβάσει τῶν πατρικῶν διατυπώσεων ὑπευθύνους εὑρεθῆναι. Τούτων οὕτως εἰρημένων, τῆς ὑμετέρας αἰτήσεως τὸν πόθον ἐγνωκότες, ἐπενεύσαμεν, ἵνα περὶ τῶν τριῶν κεφαλαίων, ἐξ ὧν ζήτησις ἀνέφυ, γινομένης κανονικῆς συνόδου, καὶ τοῦ δικαίου φυλαττομένου, ἐν μέσῳ [ τῶν ] προκειμένων τῶν ἁγίων εὐαγγελίων, ἅμα τοῖς ἑνωθεῖσιν ἡμῖν ἀδελφοῖς, σύγκρισιν ποιησώμεθα, καὶ τέλος δοθῇ τῷ θεῷ ἀρέσκον, καὶ συμβαῖνον τοῖς παρὰ τῶν ἁγίων τεσσάρων συνόδων ὁρισθεῖσιν· εἰδότες δηλαδὴ, καθάπερ καὶ ἡ τῆς κοινῆς ὁμολογίας μαρτυρία δείκνυσιν, ὡς τῶν μνημονευθεισῶν τεσσάρων συνόδων ἐν ἅπασι τὸ σέβας φυλάττεται. Ὑπογραφή. Ὁ θεός σε ὑγιῆ διαφυλάξει, ἀδελφὲ τιμιώτατε. Ἐδόθη πρὸ ἑπτὰ εἰδῶν Ἰαννουαρίων, βασιλείας τοῦ δεσπότου Ἰουστινιανοῦ τοῦ αἰωνίου Αὐγούστου ἔτοις εἰκοστοεβδόμου, μετὰ τὴν ὑπατείαν Βασιλείου τοῦ λαμπροτάτου, ἔτοις δωδεκάτου. Τῷ αὐτῷ τύπῳ ἔγραψε καὶ πρὸς Ἀπολινάριον τὸν ὁσιώτατον ἀρχιεπίσκοπον τῆς Ἀλεξανδρέων μεγαλοπόλεως, καὶ πρὸς Δομνῖνον τὸν ὁσιώτατον ἀρχιεπίσκοπον τῆς Θεουπολιτῶν, καὶ τὴν ὑπ' αὐτὸν σύνοδον.